πος φίλος ὢν τοῦ αἰσώπου ἔκρυψεν αὐτὸν ἐν τάφῳ, μηδενὸς συνειδότος, καὶ ἔτρεφεν αὐτὸν ἐν τῷ κρυπτῷ. ὁ δὲ αἶνος ¨πέλαβε τὴν τοῦ αἰσώπου διοίκησιν πᾶσαν. μετὰ δὲ χρόνον τινὰ ἀκούσας νεκτεναβὼ τὸν αἴσωπον τεθνηκέναι, ἔστειλεν ἐξ αἰγύπτου πρὸς τὸν λυκοῦργον δι᾽ ἐπιστολῶν ζητήματα προβλημάτων ἔχοντα οὕτως, νεκτεναβὼ βασιλεὺς αἰγυπτίων λυκούργῳ βασιλεῖ βαβυλωνίων χαίρειν. ἐπειδὴ θέλω οἰκοδομῆσαι πύργον μήτε γῆς μήτ᾽ οὐρανοῦ ἁπτόμενον, ἀπόστειλόν μοι τοὺς μέλλοντας τὸν πύργον ἐποικοδομεῖν. καὶ τὸν ἀποκρινόμενόν μοι εἰς ὅσα ἂν καὶ ἐρωτήσω, καὶ λάβε παρ᾽ ἐμοῦ ὑπὲρ ὅλης τῆς ὑπὸ ἐμαυτὸν ἐνορίας, φόρους ἐτῶν δέκα. εἰ δ᾽ ἀπορεῖς, πέμψον μοι ὑπὲρ πάσης τῆς ὑπὸ σὲ γῆς, φόρους

¨prima littera deleta. f. ἐπέλαβε, vel ἀπέλαβε.